Σχόλια. Κηφισοφῶντα.] ὅτι ἐδόκει δοῦλος ὢν συμποιεῖν αὐτῷ ὁ Κηφισοφῶν καὶ μάλιστα τὰ μέλη. ὃν καὶ συνεῖναι τῇ γυναικὶ αὐτοῦ κωμῳδοῦσιν. ἕτερος δέ ἐστι Κηφισοφῶν, ὁ καὶ τὸ ψήφισμα εἰσενεγκών, ὑπὲρ τοῦ εἰρχθῆναι τῆς ἐν πρυτανείῳ σιτήσεως. Η τὸ αὐτοῦ.] ὅτι δυσγενὴς ὁ Εὐριπίδης. ἐπῶν δὲ τῶν ἰαμβείων. ἔπη γὰρ καὶ αὐτὰ καλοῦσιν. Αργόν.] ὥσπερ σὺ τὴν Νιόβην καὶ τὸν Αχιλλέα ἐποίησας μηδὲν λέγοντας. Η γυνή τέ μοι χὠ δοῦλος.] ἀντὶ τοῦ τὰ αὐτά. καὶ εἰς τοῦτο δὲ κωμῳδεῖται ὁ Εὐριπίδης, ὅτι διαφόροις τοῖς προσώποις ἀνοικείους λόγους περιτίθησιν. Ταῦτα] τὸ τοὺς δούA λους τοῖς δεσπόταις ἰσοτίμους ποιεῖν. Δημοκρατικόν.] τὰ περὶ δημοκρατίας καὶ ἰσότητος. φησὶν οὖν πρὸς ταῦτα ὁ Διόνυσος. ἔασον. ἐμὸν γάρ ἐστι μᾶλλον ἐμπεριπατῆσαι περὶ τούτου ἢ σόν. παρόντος εἰρήνης καὶ ἡσυχίας ὁ θεὸς αἴτιος. ἔασον οὖν ὦ τᾶν. ὀρθῶς γάρ σου κατηγορεῖ ἐπὶ τῇ πάντων ἀδολεσχίᾳ ὁ Αἰσχύλος. καὶ οὐκ ἂν ἔχοις ἐμπεριπατῆσαι οὐδὲ ἐπαινέσαι σεαυτὸν ἐπὶ τούτῳ. ἄλλως. οὐ δεῖ σέ φησι ζητεῖν ὅπως ἂν ἀποδείξῃς ὡς κάλλιστα τοῦτο ἐποίεις. οὐ γὰρ καλὸν ἐξῖσου τοὺς δούλους τοῖς δεσπόταις παρρησιάζεσθαι. περίπατος δὲ διατριβή.

B

Ευρ. Λεπτῶν τε κανόνων ἐσβολὰς, ἐπῶν τε γωνιασμούς

Νοεῖν, ὁρᾶν, ξυνιέναι, στρέφειν, ἐρᾶν, τεχνάζειν,

Καχυποτοπεῖσθαι, περινοεῖν ἅπαντα. Αἰσχ. φημὶ κἀγώ.

Ευρ. Οἰκεῖα πράγματ' εἰσάγων, οἷς χρώμεθ', οἷς ξύνεσμεν,

(Εξ ὧν γ' ἂν ἐξηλεγχόμην. ξυνειδότες γὰρ οὗτοι,

C Ἤλεγχον ἄν μου τὴν τέχνην) ἀλλ' οὐκ ἐκομποφακέλουν,

Από τοῦ φρονεῖν ἀποσπάσας, οὐδ' ἐξέπληττον αὐτούς,

Κύκνους ποιῶν καὶ Μέμνονας, κωδωνοφαλαροπώλους.

Γνώσῃ δὲ τοὺς τούτου τε, κἀμοὺς γ' ἑκατέρου μαθητάς.

D Τούτου μὲν οὖν Φορμίσιος, Μεγαίνετός θ' ὁ μάνης,

Σαλπιγγολογχυπηνάδαι, σαρκασμοπιτυοκάμπται,

Οὑμοὶ δὲ, Κλειτοφῶν τε, καὶ Θηραμένης ὁ κομψός.

Διόνυ. Θηραμένης; σοφός γ' ἀνὴρ καὶ δεινὸς εἰς τὰ πάντα,

E Ος ἢν κακοῖς που περιπέσῃ καὶ πλησίον παρασταῖ,

Πέπτωκεν ἔξω τῶν κακῶν, οὐ Χῖος ἀλλὰ Κεῖος.

*Ev. Subtiliúmque regularum ingressus, angulósque*

*Contiguos versuũ intelligere, sapere, peruidere,*

*Agere versutè, amare, dolos meditari, suspicari*

*Quiduis mali: omnia comminiscier.* Æs. *hoc idem & ego dico.*

Ev. *Vernaculas res introduxi, quibus hîc immoramur,*

*Et quibus hîc vtimur (ob quas etiam reprehensus fuissem:*

*Nam hi, qui huius rei sunt conscij, reprehendissent meam artem)*

*Sed neque quicquam dixi in Tragœdia pompaticè: quod*

*Populum à prudentia abstraheret: neque perterrefaciebam,*

*Effingẽs Memnonas, cygnósque noliphare polas.*

*Dignosces verò etiam discipulos vtriusque nostrûm,*

*Huius quidẽ Phormisius, Megænetúsque seruus,*

*Tubbastibarbiformidandi, Erucosanniones.*

*Mei verò sunt Clitipho, & Theramenes comatus*

BA. *Theramenes? vir prudens sanè, & ad omnia versipellis*

*Qui sicubi in malos inciderit, propéque astiterit vsquam:*

*Non Chius à malis, sed Cius potiùs euolauit.*

Σχόλια. Γωνιασμούς.] πλαγιασμούς. ἀπάτας. καχυποτοπεῖσθαι δὲ ἀντὶ τοῦ κακὰ ὑπονοεῖν ἐάν τις εἰς αὐτοὺς τεχνάσηται. Οὐκ ἐκομποφακέλουν] κενοὺς οὐκ ἐπσίουν ψόφους. οὐκ ἔλεγον κομπώδη ὡς Αἰσχύλος. Από τοῦ φρονεῖν ἀποσπάσας.] οὐ τὴν σωφροσύνην αὐτῶν ἀφειλόμην. ἀπὸ τοῦ φρονεῖν καὶ συνεῖναι τὸ λεγόμενον ἀποσπάσας αὐτούς. F Κύκνους.] ὅτι δύο Κύκνοι ἐγένοντο, ὁ μὲν Αρεος υἱὸς ὁ ὑφ' Ηρακλέους φονευθεὶς ὡς ἐν τῇ ἀσπίδι Ησίοδος. ὁ δὲ Ποσειδῶνος ὁ ὑπ' Αχιλλέως. ὡς καὶ Πίνδαρος ἱστορεῖ. Κωδωνοφαλαροπώλους. Απολλώνιός φησιν, ὅτι παρήνεγκε χρωμένους κώδωσί τινας. κώδωνας ἐν τοῖς φαλάροις καὶ χαλινοῖς τῶν ἵππων ἔχοντας. Φορμίσιος] Δίδυμός φησιν, ὅτι Φορμίσιος δραστικὸς ἦν καὶ τὴν κόμην τρέφων, καὶ φοβερὸς δοκῶν εἶναι. διὸ καὶ Αἰσχύλου μαθητὴν φησὶν αὐτὸν εἶναι. βαθὺς δὲ ἦν καὶ καθίει τὸν πώγωνα. κωμῳδεῖται δὲ καὶ εἰς δωροδοκίαν. Μεγαίνετός θ' ὁ μάνης.] ὁ Μεγαίνετος. ὅτι οὐ G πάντως βάρβαρος ἀλλ' ἀναίσθητος καὶ οὐκ ἀστεῖος. αὐθάδης δὲ ἐστὶ καὶ τῶν στρατηγιώντων ἐστὶ καὶ θρασύς. τινὲς δὲ δούλων ὀνόματα. Σαλπιγγολογχυπηνάδαι.] σάλπιγγας καὶ λόγχας καὶ ὑπήνας ἔχοντες. τοῦτο δὲ εἰς τὸν Φορμίσιον ἀποτείνει. Σαρκασμοπιτυοκάμπται.] ὡς σαρκάζοντας μὲν καὶ προσποιουμένους τὰ πολεμικά. οὐχ ἀληθῶς δὲ τοιούτους. ἰσχύος δὲ ἐπιμελουμένους. διὸ καὶ τὸν Μεγαίνετον μάνην εἶπεν. οὐ πάντως βάρβαρον. ἀλλ' ἀναίσθητον καὶ μανικόν. ἐπίτηδες δὲ ἐχρήσατο τοῖς συνθέτοις, διὰ τὸ Αἰσχύλου ἦθος.

F Bisetvs. Οὑμοί.] οἱ ἐμοί. βέλτιον δὲ ἴσως γράφειν οὔ μοι.

Σχόλια. Θηραμένης.] ὡς ἀστεῖος καὶ πιθανός. Κλειτοφῶν δὲ ὡς ἀργὸς ἐκωμῳδεῖτο. νῦν δὲ ὡς πανοῦργον καὶ παλίμβολον βούλεται τοῦτον ἀποδεικνύναι. καὶ παραπλήσιον Θηραμένει. Οὐ Χῖος, ἀλλὰ Κεῖος.] ὅτι δοκεῖ προσγεγράφθαι τῇ πολιτείᾳ, ἀγνώνος αὐτὸν ποιησαμένου ὡς Εὔπολις πόλεσιν. Αρίσταρχος δὲ, ὡς γεγραμμένου Κῷος ἐξηγεῖται. ὅτι πρὸς τὸ Κῷος εἰσήγαγε τὸ Χῖος. τὸν γὰρ ἀντίστροφον τῷ Χίῳ λέγεσθαι. τοῦτο G οὖν φησιν. ὅτι οὐδέποτε κακοβουλεῖ ὁ Θηραμένης ὡς ἐν ἀστραγάλοις, ἀλλ' ἐπιτυγχάνει. ἐπιπλήττει δὲ αὐτῷ ὁ Δημήτριος, ὡς τελέως ἀγνοοῦντι ὅτι Κεῖος ἦν. παραλείπει δὲ ὅμως καὶ αὐτὸς, ὅτι οὐδὲν ἧττον παρὰ τὴν ὑπόνοιαν εἴρηται, ἀντὶ τοῦ Κῷος Κεῖος. Δίδυμος δέ φησι ὅτι δύναται καὶ τῆς παροιμίας μεμνῆσθαι. οὐ Χῖος ἀλλὰ Κεῖος. παρόσον